atque iis quæ ad iniustitiam vel iustitiam spectat: id enim est alterius virtutis: sed de eo qui licet nihil huiusmodi intersit, & vita & verbis propterea verum dicit, quia talis ex habitu est: qui sanè cùm sit huiusmodi, meritò esse probus videtur. qui enim veritatis est studiosus, & vbi nihil refert, verum dicit: multo magis vbi referet, id faciet. vbi enim turpe est mendacium, cauebit profectò, quod per se etiam euitabat. Talis autem est laudabilis: licet magis ad id declinet, quòd verò minus est. nam quia inuidiosæ sunt nimiæ excellentiæ, id esse moderatius videtur, atque aptius. Qui autem maiora quàm habeat, fingit, si id nullius rei causa facit, prauo quidem similis est: alioqui enim minimè gauderet mẽdacio: vanus tamen potius videtur, quàm malus. Sin alicuius causa, aut gloriæ & honoris: atque is non admodum est vituperabilis, sicut arrogás: aut argenti, eorúmque, quæ ad argentum pertinent, qui deformior est. At arrogans non in potestate, sed in electione consistit: ex habitu enim & quia est talis, arrogans est. Quemadmodum etiam mendax, alter est, qui mendacio ipso gaudet: alter, qui vel gloriam vel lucrũ appetit. Qui igitur gloriæ causa arroganter se gerunt, eiusmodi res simulant, ob quas laudari, fœlicésque prædicari homines consueuerunt: qui lucri, eas quarum fruitione alij oblectantur, quæque etiã si non adsint, latere facilè possunt: vt medicum esse, aut vatem, aut sapientem. atque idcirco plerique huiusmodi res sibi fingunt atque arrogant: quippe cum in ipsis ea sint, quæ diximus. At dissimulatores minus quàm sit dicentes, moribus esse elegantiores videntur, apparet enim eos non quæstus gratia id facere, sed vt euitent importunitatem, ac fastum. atque hi quoq. maximè illustria & clara solent recusare: quemadmodum etiam Socrates faciebat. Qui autem parua & manifesta dissimulant, versutè delicati dicuntur, & contemnendi sunt. Adde quòd hæc arrogantia interdum videtur: vt Lacedæmoniorum vestitus. nam tam excessus, quàm nimius defectus ad arrogantiam spectat. qui verò moderatè dissimulatione vtuntur, eáque dissimulant, quæ non nimis sunt aperta, atque ante oculos posita elegantes videntur. Ac veraci quidem arrogans magis opponitur: peior enim est.

## CAPVT XIIII.

CVm autem in vita requies etiam quædam sit, in qua homines ioco vtantur:

A οὐδ᾽ ὅσα εἰς ἀδικίαν ἢ δικαιοσύνην συντείνει· ἄλλης γὰρ ἂν εἴη ταῦτ᾽ ἀρετῆς· ἀλλ᾽ ἐν οἷς μηδενὸς τοιούτου διαφέροντος, καὶ ἐν λόγῳ καὶ ἐν βίῳ ἀληθεύει, τῷ τὴν ἕξιν τοιοῦτος εἶναι. δόξειε δ᾽ ἂν ὁ τοιοῦτος ἐπιεικὴς εἶναι. ὁ γὰρ φιλαλήθης, καὶ ἐν οἷς μὴ διαφέρει, ἀληθεύων, ἀληθεύσει καὶ ἐν οἷς διαφέρει, ἔτι μᾶλλον. ὡς γὰρ αἰσχρὸν, τὸ ψεῦδος εὐλαβήσεται, B ὅ γε καὶ καθ᾽ αὑτὸ ηὐλαβεῖτο· ὁ δὲ τοιοῦτος ἐπαινετός. ἐπὶ τὸ ἔλαττον δὲ μᾶλλον τῆς ἀληθοῦς ἀποκλίνει. ἐμμελέστερον γὰρ φαίνεται, διὰ τὸ ἐπαχθεῖς τὰς ὑπερβολὰς εἶναι. ὁ δὲ μείζω τῶν ὑπαρχόντων προσποιούμενος μηθενὸς ἕνεκα, φαύλῳ μὲν ἔοικεν· οὐ γὰρ ἂν ἔχαιρε τῷ ψεύδει· μάταιος δὲ φαίνεται μᾶλλον ἢ κακός. εἰ δ᾽ ἕνεκά τινος, ὁ μὲν δόξης ἢ τιμῆς, οὐ λίαν ψεκτὸς, ὡς ὁ ἀλαζών· ὁ δὲ C ἀργυρίου, ἢ ὅσα εἰς ἀργύριον, ἀσχημονέστερος. οὐκ ἐν τῇ δυνάμει δ᾽ ἐστὶν ὁ ἀλαζὼν, ἀλλ᾽ ἐν τῇ προαιρέσει. κατὰ τὴν ἕξιν γὰρ, καὶ τῷ τοιόσδε εἶναι, ἀλαζών ἐστιν, ὥσπερ καὶ ψεύστης ὁ μὲν τῷ ψεύδει αὐτῷ χαίρων, ὁ δὲ δόξης ὀρεγόμενος ἢ κέρδους. οἱ μὲν οὖν δόξης χάριν ἀλαζονευόμενοι, τὰ τοιαῦτα προσποιοῦνται, ἐφ᾽ οἷς ἔπαινος ἢ εὐδαιμονισμός· D οἱ δὲ κέρδους, ὧν ἀπόλαυσίς ἐστι τοῖς πέλας, καὶ ἃ διαλαθεῖν ἐστι μὴ ὄντα, οἷον ἰατρὸν ἢ μάντιν σοφόν. διὰ τοῦτο οἱ πλεῖστοι προσποιοῦνται τὰ τοιαῦτα, καὶ ἀλαζονεύονται. ἔστι γὰρ ἐν αὐτοῖς τὰ εἰρημένα. οἱ δ᾽ εἴρωνες ἐπὶ τὸ ἔλαττον λέγοντες, χαριέστεροι μὲν τὰ ἤθη φαίνονται. οὐ γὰρ κέρδους ἕνεκα δοκοῦσι λέγειν, ἀλλὰ φεύγοντες τὸ ὀγκηρόν. μάλιστα E δὲ καὶ οὗτοι τὰ ἔνδοξα ἀπαρνοῦνται· οἷον καὶ Σωκράτης ἐποίει. οἱ δὲ καὶ τὰ μικρὰ καὶ τὰ φανερὰ προσποιούμενοι, βαυκοπανοῦργοι λέγονται, καὶ εὐκαταφρόνητοί εἰσι. καὶ ἐνίοτε ἀλαζονεία φαίνεται, οἷον ἡ τῶν Λακώνων ἐσθής. καὶ γὰρ ἡ ὑπερβολὴ καὶ ἡ λίαν ἔλλειψις, ἀλαζονικόν. οἱ δὲ μετρίως χρώμενοι τῇ εἰρωνείᾳ, καὶ περὶ τὰ μὴ λίαν ἐμποδὼν καὶ φανερὰ εἰρωνευόμενοι, χαρίεντες φαίνονται. F ἀντικεῖσθαι δ᾽ ὁ ἀλαζὼν φαίνεται τῷ ἀληθευτικῷ· χείρων γάρ.

## Κεφάλαιον ιδ.

Οὔσης δὲ καὶ ἀναπαύσεως ἐν τῷ βίῳ, καὶ ἐν ταύτῃ διαγωγῆς μετὰ παιδιᾶς,

δοκεῖ